**SS 2025 Λυσιστράτη, Parodos 254-271, 335-343 (1. Sitzung) (Karanasiou)**
https://www.schooltime.gr/wp-content/uploads/2013/07/lisistrati-aristofanous_prototipo-keimeno_www.schooltime.gr_.pdf

**Χορὸς Γερόντων**

χώρει Δράκης, ἡγοῦ βάδην, εἰ καὶ τὸν ὦμον ἀλγεῖς
κορμοῦ τοσουτονὶ βάρος χλωρᾶς φέρων ἐλάας.

**Χορὸς Γερόντων**

ἦ πόλλ᾽ ἄελπτ᾽ ἔνεστιν ἐν τῶι μακρῶι βίῳ φεῦ,
ἐπεὶ τίς ἄν ποτ᾽ ἤλπισ᾽ ὦ Στρυμόδωρ᾽ ἀκοῦσαι
γυναῖκας, ἃς ἐβόσκομεν

κατ᾽ οἶκον ἐμφανὲς κακόν,
κατὰ μὲν ἅγιον ἔχειν βρέτας,
κατὰ δ᾽ ἀκρόπολιν ἐμὰν λαβεῖν
μοχλοῖς δὲ καὶ κλῄθροισι
τὰ προπύλαια πακτοῦν;

**Χορὸς Γερόντων**

ἀλλ᾽ ὡς τάχιστα πρὸς πόλιν σπεύσωμεν ὦ Φιλοῦργε,
ὅπως ἄν, αὐταῖς ἐν κύκλῳ θέντες τὰ πρέμνα ταυτί,
ὅσαι τὸ πρᾶγμα τοῦτ᾽ ἐνεστήσαντο καὶ μετῆλθον,
μίαν πυρὰν νήσαντες ἐμπρήσωμεν αὐτόχειρες
πάσας, ὑπὸ ψήφου μιᾶς, πρώτην δὲ τὴν Λύκωνος.

**Χορὸς Γερόντων**

οὐ γὰρ μὰ τὴν Δήμητρ᾽ ἐμοῦ ζῶντος ἐγχανοῦνται·

(…)

**Χορὸς Γυναικῶν**

ἤκουσα γὰρ τυφογέροντας
ἄνδρας ἔρρειν, στελέχη **336**

φέροντας ὥσπερ βαλανεύσοντας
ἐς πόλιν ὡς τριτάλαντον βάρος,
δεινότατ᾽ ἀπειλοῦντας ἐπῶν
ὡς πυρὶ χρὴ τὰς μυσαρὰς γυναῖκας ἀνθρακεύειν · **340**

ἃς ὦ θεὰ μή ποτ᾽ ἐγὼ πιμπραμένας ἴδοιμι,
ἀλλὰ πολέμου καὶ μανιῶν ῥυσαμένας Ἑλλάδα καὶ
πολίτας,